UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XVI. Quomodo Licinius militibus praeceperit, ne adversus crucis signum impetum facerent.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Λικινίου περὶ φιλίας δόλος, καὶ εἰδωλολατρία.

ΕΠεὶ δ' ὁ μικρῷ πρόσθεν φυγὰς, εἰρωνείᾳ καθυπεκρίνετο, φιλικὰς αὖθις ἀντιβολῶν πείσασθαι δεξιάς. καὶ ταύτας αὐτῷ παρέχειν ἠξίου ἐπὶ συνθηκῶν ὅρκοις βιωφελῶς καὶ τῷ παντὶ λυσιτελῶς περαινομένας. ταῖς μὲν οὖν συνθήκαις προθύμως ὑπακούειν ὁ δηλωθεὶς ὑπεκρίνετο, ὅρκοις βεβαιῶν τὴν πίστιν· λάθρᾳ δ' αὖθις ὁπλιτῶν συνῆγε παρασκευήν. καὶ πάλιν πολέμου καὶ μάχης κατῆρχε, βαρβάρους τ' ἄνδρας ἀνεκαλεῖτο συμμάχους. B Θεούς τε ζητῶν περιῄει ἑτέρους, ὡς ἂν ἐπὶ τοῖς προτέροις ἠπατημένος. καὶ τῶν αὐτῷ πρὸ μικροῦ περὶ Θεῶν ὁμιληθέντων, οὐδὲ μίαν ἐν νῷ κατεβάλλετο μνήμην. οὐδὲ τὸν ὑπέρμαχον Κωνσταντίνου Θεὸν γνωρίζειν ἤθελε. πλείους δ' αὐτῷ καὶ καινότεροι γελοίως ἀνεζητοῦντο.

## Caput XV.

*Licinii simulata amicitia, & idolorum cultus.*

QUoniam vero Licinius qui paulo antè fugam inierat, simulatione utens, iterum amicitiam ac fœdera renovari poscebat; Imperator id è Republica esse, & generi humano conducere ratus, pacem illi sub certis conditionibus indulgere non recusavit. At Licinius, specie quidem ipsa fingebat, leges se libenter amplecti, & fidem jurejurando firmabat. Verùm occultè militarem apparatum instruebat; atque iterum bellum inferre, iterum pugnam instaurare meditabatur. Sed & Barbarorum auxilia undique conquirebat; & novos circumquaq; investigabat Deos: utpote à prioribus in fraudem inductus. Nec memoriâ repetebat, quæ paulo ante de iis in concione dixisset. Nec Deum qui pro Constantino propugnasset, agnoscere volebat: sed multo plures ac recentiores Deos non sine risu ac ludibrio cœpit conquirere.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Ὅπως μὴ ἀντιπολεμεῖν τῷ σαυρῷ Λικίνιος παρῄνει τοῖς στρατιώταις.

C

ΕΙτ' ἔργῳ μαθὼν ὁπόση τις ἦν θεϊκὴ καὶ ἀπόρρητος ἐν τῷ σωτηρίῳ τροπαίῳ δύναμις, δι' ἧς ὁ Κωνσταντῖνος ἔμαθε στρατὸς κρατεῖν, τοῖς ἀμφ' αὐτὸν ὁπλίταις παρῄνει, μηδαμῶς ἐξεναντίας ἰέναι τούτῳ, μηδ' ὡς ἔτυχεν ἀπερισκέπτως ὁρᾶν ἐπ' αὐτῷ. δεινὸν γὰρ εἶναι ἰσχύϊ, αὐτῷ τε ἐχθρὸν καὶ πολέμιον. διὸ χρῆναι φυλάττεσθαι τὴν πρὸς αὐτὸ συμβολήν. καὶ δὴ ταῦτα συνταξάμενος, τῷ διὰ φιλανθρωπίαν ὀκνοῦντι καὶ τὸν αὐτοῦ θάνατον ἀναβαλλομένῳ, μάχῃ συμβαλεῖν ὥρματο. οἱ δὲ μὲν οὖν πολυπληθείᾳ Θεῶν θαρροῦντες, σὺν πολλῇ δυ- D νάμει χειρὸς στρατιωτικῆς ἐπῄεσαν, νεκρῶν εἴδωλα θανόντων ἐν ἀψύχοις ἀγάλμασι προβεβλημένοι. ὁ δ' εὐσεβείας θώρακι περιπεφραγμένος, τὸ σωτήριον καὶ ζωοποιὸν σημεῖον, ὥσπερ τι φόβητρον καὶ κακῶν ἀμυντήριον, τῷ πλήθει τῶν ἐναντίων παρέταττε. καὶ τέως μὲν ἐπεῖχε. φειδοῖ χρώμενος τὰ πρῶτα, ὡς ἂν μὴ πρότερος κατάρχοι τοῦ περὶ ὧν πεποίητο συνθηκῶν ἕνεκα.

## Caput XVI.

*Quomodo Licinius militibus præceperit, ne adversus crucis signum impetum facerent.*

POsthæc cùm reipsa didicisset arcanam quandam ac divinam potentiam in salutari tropæo inesse, cujus ope Constantini exercitus victoriam referre consuevisset; milites suos admonuit, ne ex adverso illi congrederentur, néve in illud temerè ac fortuito oculos conjicerent. Quippe illud signum incredibili vi pollere, ac sibi privatim infestum adversumq; esse ajebat, atq; idcirco cavendum esse, ne adversus ipsum pugna iniretur. His ita compositis, adversus illum qui pro innata clementia cunctabatur, & qui imminens ipsi exitium differebat, prœliari constituit. Et Liciniani quidem Deorum multitudine confisi, cum ingentibus copiis progrediebantur; nescio quæ mortuorum simulacra & statuas inanimes præsidii causâ præferentes. Constantinus verò pietatis lorica contectus, salutare & vivificum crucis signum, velut terriculamentum quoddam & potentissimum ad depellenda mala munimentum, hostium multitudini objecit. Ac principio quidem sustinebat; parcens interim ferro, ne videretur prior pugnam iniisse, idque ob fœderum quæ pepigerat religionem.